ὑμεῖϲ. τί γάρ μοι λοιδορεῖ βαρυ.[
(?Βλ.) μιϲῶ ϲε καὶ τοὺϲ τὰϲ ὀφρῦϲ ἐπη[ρκόταϲ
ἅπανταϲ· ὄχλοϲ ὢν δ' ὁμολογῷ [
(Ϲμ.) οὐκ ἂν γένοιτο τοῦτο.
(?Βλ.) ἐγώ ϲε.[
τὸν πλούϲιον κλέπτοντα ϲ.[
ϲκεύη τε καὶ τούτων ἀποτ.[
ἀργύριον οὐκ ἐξ οἰκίαϲ ἴϲωϲ φ[
τῶν ἀγομένων ἐκεῖϲε προ[
(Ϲμ.) οἴμωζε.
(?Βλ.) καὶ ϲύ.
(Ϲμ.) νοῦν ἔχειϲ φ[ ϲκάφηϲ
ἐγὼ γὰρ ἄν ϲ' ἐπόηϲα ϲυνϲτομώτερον.
(Βλ.) ὦ γεραιέ, μεῖνον ἐν παραϲτά[ϲιν δόμων.
(Ϲμ.) μένω. τίνοϲ δὲ τοῦτο θωύϲ[ϲειϲ χάριν;
(Βλ.) ὡϲ ἂν ϲὺ μικρὸν καὶ καπν[
(Ϲμ.) βουλόμεθ' ἀκοῦϲαι τὰ περὶ τ[
καὶ [
(Βλ.) εἴδωϲ ταπυν[
(Ϲμ.) ἅπαϲαν ἡμῖν εἰ[πέ
(Βλ.) ἐτύγχανον μὲν οὐ[
βαίνων, μὰ τὸν Δί', οὔτε τ[
]ε τοῦτ' ἐμοί, καλῶϲ ποῶν
] καὶ τὰ τῶν ἄλλων κακὰ
]μαι φοβερὸϲ εἰϲ τριώβολον
]τε κοινὸν μέγα βοῶν οἷϲ ἂν τύχω
δημο]τικόϲ, οἵπερ καὶ μόνοι ϲῴζουϲι γῆν.
ἐξ] ἄϲτεωϲ δ' ἥκων ἵν' ἐντύχοιμί τωι